www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

# ΑΝΤΙΠΑΝ

## ΕΠΙΣΚΟΠΟΝ ΠΕΡΓΑΜΟΥ

ΨΑΛΛΟΜΕΝΟΣ

ΤΗι ΤΡΙΤΗι ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΒΔΟΜΑΔΟΣ

ΜΕΤΑΤΙΘΕΜΕΝΗΣ ΤΗΣ ΙΕΡΑΣ ΑΥΤΟΥ ΜΝΗΜΗΣ

Προσημείωσις: Τοὺς ἀναγινώσκοντας ἢ ψάλλοντας τὸν ἱερὸν τοῦτον Κανόνα δεῖ εἰδέναι, ὅτι:

*Ἐν τῷ πρώτῳ τροπαρίῳ ἑκάστης ᾠδῆς δέονται οἱ πιστοὶ πρὸς τὸν Ἅγιον.*

*Ἐν τῷ δευτέρῳ δέεται ὁ Ἅγιος πρὸς τὸν Κύριον.*

*Ἐν τῷ τρίτῳ ἀποκρίνεται ὁ Κύριος πρὸς τὸν Ἅγιον.*

*Ἐν τῷ τετάρτῳ ἀπαντᾷ ὁ Ἅγιος πρὸς τοὺς δεομένους πιστούς.*

*Ἐν τῷ πέμπτῳ καταφεύγουν οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον.*

*Φέρει δ' ὁ Κανὼν τὴν Ἀκροστιχίδα ταύτην:*

*«ΤΩ ΚΛΕΙΝΩ ΑΝΤΙΠΑ ΤΟ ΔΕΥΤΕΡΟΝ ΑΔΕΙ ΜΕΛΟΣ ΙΑΚΩΒΟΣ»*

*Καὶ ψάλλεται, ὡς καὶ ὁ ἀναστάσιμος Κανὼν τοῦ Πάσχα, εἰς Ἦχον α'.*

www.tezaurliturgic.ro



Ὠδὴ α'. *Ἀναστάσεως ἡμέρα.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Τὴν γενέθλιον ἡμέραν, ὦ Ἀντίπα πιστέ,
τῆς ἐναθλήσεώς σου, ἰδοὺ συνήλθομεν Ναῷ,
ἑορτάσαι πανοικὶ λαμπρὰν ἑορτήν·
Χριστὸν οὖν δυσώπησον, ἐλλαμφθῆναι τοὺς ᾄδοντας.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ὡς ὑπέρλαμπρος ἡμέρα ἡ παροῦσα Χριστὲ
τῆς Ἀναστάσεώς σου. Φωτὶ καταύγασον τῷ σῷ,
τοὺς τιμῶντας εὐλαβῶς ἐν πόθῳ αὐτήν,
καὶ δὸς τὰ αἰτήματα τῶν πιστῶς δεομένων σοι.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Καθὼς οἶδας, ὦ Ἀντίπα, ὑπὲρ πάντων παθὼν
βούλομαι πάντας σῶσαι καὶ κοινωνοὺς τῶν δωρεῶν
καταστῆσαι ποθῶν, ἀνῆλθον σταυρῷ·
ἀλλ' οὗτοι ἀνάξιοι προστασίας τυγχάνουσιν.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Λόγος ὁ ἐνανθρωπήσας τοῦ Ἀνάρχου Πατρὸς
ἦλθεν ἀνθρώπους σῶσαι, τοὺς μετὰ πίστεως θερμῆς
καὶ ἐν ἔργοις καλοῖς, ὑμνοῦντας Αὐτόν.
ὑμεῖς δὲ οὐκ ἄξιοι χαρισμάτων ὑπάρχετε.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Ἐπὶ σοὶ Παρθενομῆτορ, καταφεύγομεν νῦν
καὶ γοερῶς βοῶμεν. Ἰδοὺ Υἱός σου καὶ Θεὸς
καὶ Ἀντίπας ὁ πιστός, ἀφέστηκαν νῦν
μακρὰν ἡμῶν· πρόφθασον καὶ χαρὰν ἡμῖν βράβευσον.

www.tezaurliturgic.ro



## Ὠδὴ γ΄. *Δεῦτε πόμα πίωμεν καινόν.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Ιδε τὴν ταπείνωσιν ἡμῶν
Ἱερομύστα, Ἀντίπα μακάριε, καὶ μετανοίας καιρὸν
δοθῆναι δυσώπει τὸν Χριστὸν
ἡμῖν δεομένοις σου.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Νεῦσον τῇ δεήσει μου, Σωτήρ,
καὶ μετανοίας καιρὸν αὖθις δώρησαι, τοῖς θρηνῳ-
ὅτι εἰς τὸ σῶσαι τοὺς θνητούς, [δοῦσιν οἰκτρῶς,
Λόγε, βροτὸς γέγονας.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Ω! πῶς ἀπετόλμησαν τανῦν
οἱ καθ' ἑκάστην ψευδῶς ὑποσχόμενοι, ὡς μεταγνῶ-
ἐλθεῖν πρὸ προσώπου μου αἰτεῖν [ναι καλῶς,
λόγοις, τὴν διόρθωσιν.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ἄγε, νῦν, μετάνοιαν θερμὴν
δι' ἔργων μᾶλλον ἢ λόγων ποιήσατε· ὁ γὰρ Δεσπότης
βραβεύει τοὺς ἔργοις ἀγαθοῖς [Χριστὸς
ἐπὶ γῆς βαδίζοντας.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Νέα Κλίμαξ ὤφθης Μαριὰμ
ὡς ἡ πάλαι πρὸς ὕψος ἀναβιβάζουσα, πρόφθασον
εἰς βάθος ἐλθόντας τῶν κακῶν, [νῦν καὶ ἡμᾶς
τάχος ἐλευθέρωσον.

www.tezaurliturgic.ro



Ὠδὴ δ'. *Ἐπὶ τῆς θείας φυλακῆς.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Τανῦν ἱκέσιον ᾠδήν, ἐν κατανύξει καὶ κλαυθμῷ
μάρτυς τοῦ Θεοῦ στεφηφόρε,
τῷ Λυτρωτῇ προσάγομεν, ἐν στεναγμοῖς καὶ δάκρυσι,
σήμερον σωτηρία ἐφάνη·
αὐτὴν μετάδος ἡμῖν, τοῖς ἱκετεύουσι.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ἰδοὺ παρέστηκα, Σωτήρ, τοὺς οἰκτιρμούς σου ἐξαιτῶν
ἄφες παραπτώματα πάντα
τῶν δεομένων δούλων σου μετανοούντων σήμερον·
σὺ γὰρ καὶ ἔπαθες, Λόγε,
ἵν' ἀναστὰς χαρίσῃ πᾶσι τὴν ἄφεσιν.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Πᾶσιν εἰρήνην χορηγῶ, υἱοθεσίαν καὶ χαρὰν
ὅταν μεταγνῶσιν ἐγκαίρως
ἐπὶ τῆς γῆς καὶ πράξωσιν ἔργα ἀρετῆς, ἀγάπης τε·
οὗτοι δὲ σωτηρίαν αἰτοῦσι,
ὅτι ἀνέστην· ἀλλ' ἔργον οὐ δεικνύουσι.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ἀπὸ τῆς θείας φυλακῆς πᾶσιν ὑμῖν ἀντιβοῶ·
δεῦτε εἰς μετάνοιαν πάντες
καὶ ἔργα κατανύξεως ἐπὶ τῆς γῆς ἐργάσασθε·
ἄλλως οὐκ ἔστιν ὅλως
τῆς σωτηρίας τυχεῖν καὶ τῆς ἀφέσεως.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Τὴν Ἀειπάρθενον Ἁγνὴν καὶ ἐκλεκτὴν περιστερὰν
πάντες ἐκτενῶς δυσωποῦμεν.
Ἐνίσχυσον, Πανάχραντε, εἰς ἔργα ἡμᾶς πίστεως
σήμερον, ἵνα τύχωμεν, Μῆτερ,
τῶν ἀγαθῶν, τῆς τοῦ Υἱοῦ Σου Ἀναστάσεως.

www.tezaurliturgic.ro



*Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Ὀρθρίζοντες ὄρθρου βαθέος
μετὰ δακρύων τοὺς ὕμνους προσᾴδομεν, στεφηφόρε·
ἐκτενῶς δεόμενοι τῷ ἐκ τοῦ τάφου σήμερον
πᾶσι ζωὴν χορηγήσαντι.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Δεσπότης ὢν πάντων οἰκτίρμον,
τοὺς κατανύξει τοὺς ὕμνους σοι ψάλλοντας ἱκετεύω,
εὐμενῶς δεχόμενος, τὴν σωτηρίαν δώρησαι
ταύτην ποθοῦντας, Φιλάνθρωπε.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Ἐγήγερμαι, ἵνα τοῖς πᾶσι
υἱοθεσίαν καὶ δόξαν δωρήσωμαι τοῖς ἀνθρώποις,
σωτηρίαν, ἄφεσιν, τοῖς μετὰ πόθου πάντοτε,
πίστει θερμῇ προσιοῦσί μοι.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ὑμνεῖτε διηνεκῶς τὸν Σωτῆρα
καὶ μετὰ φόβου καὶ πόθου αἰτεῖτε ὅπως παράσχῃ,
ἱλασμὸν καὶ ἄφεσιν καὶ βίου ἐπανόρθωσιν,
φύσει γὰρ πέλει φιλάνθρωπος.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Τιμῶμέν σε, Θεοτόκε Παρθένε,
καὶ μετὰ πάντων Ἁγίων δοξάζομεν τὸν Υἱόν Σου,
τὸν ἀφράστως σήμερον ἡμᾶς ἐλευθερώσαντα,
πάσης κακίας τοῦ δράκοντος.

www.tezaurliturgic.ro



Ὠδὴ στ'. *Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Ἐδόθης ἐν τοῖς δεινοῖς βοηθὸς
καὶ συνήγορος πεσόντων εἰς βάθος,
Ἀντίπα· διὸ εὐδόκησον νῦν,
καταπέμψασθαι, πᾶσιν ἄφεσιν ἡμῖν
δεομένων σοι πίστει.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ῥημάτων σου μεμνημένος Σωτὴρ
νῦν προσέρχομαι θερμῶς ἱκετεύων·
ἀπόδος τοῖς προσιοῦσι πιστοῖς
τὰ αἰτήματα. Σὺ γὰρ εἶπας, Ἀγαθέ,
ὁ αἰτῶν σοι λαμβάνει.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Ὁσίως διαπεράσας τὸ ζῆν
κατηξίωσαι μοναῖς ἀκηράτοις
Ἀντίπα· ἀλλ' οἱ δεόμενοι νῦν
οὐκ ἐπόθησαν ἔργα ἀγάπης, ἀρετῆς
καὶ ψυχῶν σωτηρίαν.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ναῷ μου συναθροισθέντες ὑμεῖς,
καὶ τὴν ἄφεσιν θερμῶς ἐξαιτοῦντες,
ἁγνείᾳ καταλαμπρύνατε νῦν
τὰς ψυχὰς ὑμῶν· ὡς ἂν τύχητε τρανῶς
τῆς ἐκ τάφου συγγνώμης.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Ἁγία Σὺ τῶν Ἁγίων Θεοῦ
καὶ κειμήλιον, Ἁγνή, σωτηρίας
μετάδος ταύτην ἡμῖν, Μαριάμ.
Ὃν γὰρ ἔτεκες καὶ ἑώρακας Σταυρῷ
ἐξανέστη τοῦ τάφου.

www.tezaurliturgic.ro



Ὠδὴ ζ΄. *Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Δαιμόνων πανουργίας ἐκλύτρωσαι, Ἀντίπα μακάριε,
πάντας τοὺς πιστοὺς καὶ τῷ Κυρίῳ συνδεσμῶν
ἐντολὰς αὐτοῦ πράττειν ἐνίσχυσον·
ὡς μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ἐκτείνας, Παντοδύναμε, χεῖράς σου, Χριστὲ πολυέλεε,
στῆσον τὴν ἰσχύν, τοῦ ἀλλοτρίου καὶ ποιεῖν
τὸ θέλημά σου τοὺς νῦν ἱκετεύοντας
ἐνδυνάμωσον· ὡς αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερέν-
[δοξος.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Ἰδοὺ νῦν ἐκ τοῦ τάφου ἐγήγερμαι, τοῦ πλάνου τὰ ἔνεδρα
λῦσαι ὡς Θεὸς καὶ χορηγῆσαι τοῖς θνητοῖς
ἐξουσίαν, Ἀντίπα, καὶ δύναμιν·
ὁ θέλων ἐπιτυχεῖν προσελθέτω· ἰδοὺ καιρὸς εὐπρόσδεκτος.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Μεγάλης δωρεᾶς τε καὶ χάριτος, ἰδοὺ ἠξιώθητε·
δεῦτε ἐν χαρᾷ καὶ κατανύξει ἱερᾷ
πρὸς Χριστοῦ ἐξουσίαν αἰτήσασθε,
τὰ βέλη τοῦ πονηροῦ κατασβέσαι· Θεὸς γὰρ ὑπερένδοξος.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Ἐτύχομεν, Παρθένε Θεόνυμφε, καινῆς ἀναπλάσεως
καὶ τῶν δωρεῶν τοῦ ἀναστάντος ἐκ νεκρῶν·
μητρικῶς νῦν αὐτὸν καθικέτευσον,
δοθῆναι τοῖς ταπεινοῖς ἡμῖν πᾶσι, νικᾶν καὶ ἀνδρίζεσθαι.

www.tezaurliturgic.ro



Ὠδὴ η'. *Αὕτη ἡ κλητή.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Λόγους σου σεπτέ, Ἱεράρχα Κυρίου,
φυλάξωμεν οἱ πάντες ἐν τῇ ψυχῇ καὶ καρδίᾳ·
Λυτρωτῇ πρόσπεσον καὶ δωρήσηται ἡμῖν τὸν παράδεισον,
ἵν' εὐλογοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ὁ εἰς τὴν ζωὴν καὶ μὴ θάνατον Λόγε,
καλέσας τοὺς ἀνθρώπους καὶ χορηγῶν τὴν εἰρήνην·
τῶν πιστῶν τὴν εὐχὴν καὶ παράκλησιν θερμῶς νῦν ἐκ-
καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. [πλήρωσον.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Σῶσαι τοὺς βροτούς, ὦ Ἀντίπα, ἐπέστην·
νῦν δ' ἄφεσιν πταισμάτων ἐξαναστὰς ἐκ τοῦ τάφου,
χορηγῶ τοῖς πιστοῖς, τοῖς τὴν μνήμην σου τιμῶσι καὶ
Θεὸν τοῦ Ἀντίπα ὑμνοῦμεν εἰς αἰῶνας. [ᾄδουσι :

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ἴδε ἡ πληθὺς τῶν τιμώντων με πόθῳ
καὶ λάβε τοὺς στεφάνους ὑπομονῆς· καὶ ἀνδρίζου
ἐν Χριστῷ τῷ Θεῷ, χορηγήσαντί σοι νῦν τὴν συγχώρησιν,
δεῦρ' ἴθι καὶ αἴνει αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Αὕτη ἡ κλητή, Θεοτόκε, ἡμέρα
ἡμῶν τῶν ἐπταικότων, ἐν ᾗ χαρὰν καὶ εἰρήνην,
ὁ Υἱός Σου δωρεῖ δι' Ἀντίπα, τοῦ κλεινοῦ ἡμῶν φύλακος.
Αὐτὸν εὐλογοῦμεν, πιστῶς εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



'Ωδὴ θ'. *Φωτίζου, φωτίζου.*

*Οἱ πιστοὶ πρὸς τὸν Ἅγιον*

Καὶ λόγοις καὶ ἔργοις, σὲ μεγαλύνομεν κλεινέ,
Ἱεράρχα Περγάμου, Ἀποστόλων σύσκηνε·
δέχου τανῦν, ὦ Ἀντίπα, ἡμῶν,
ὕμνους χαρᾶς καὶ εὐχαριστίας,
ὅτι σοῦ χάριν ἐσώθημεν.

*Ὁ Ἅγιος πρὸς τὸν Κύριον*

Ω! Πάσχα τὸ μέγα, σήμερον γέγονας Σωτήρ·
καὶ γὰρ πάλιν ἐφάνης, συμπαθής, φιλάνθρωπος,
Πρόσδεξαι νῦν τῶν ψαλλόντων ἐν γῇ,
τὴν προσευχὴν ἐν ἀγαλλιάσει,
κἀμοῦ, Χριστέ, τὴν προσκύνησιν.

*Ὁ Κύριος πρὸς τὸν Ἅγιον*

Βραβεύω, Ἀντίπα, τοὺς μετὰ πίστεως θερμῆς,
καὶ ἁγνότητι βίου ἐπὶ γῆς βαδίζοντας·
ἅπαντες οὖν οἱ τιμῶντές σε νῦν,
καὶ σὺν Πατρί, Πνεύματι ὑμνοῦντας
Μέ, ἐν φωτὶ πορευέτωσαν.

*Ὁ Ἅγιος πρὸς τοὺς πιστοὺς*

Ο κόπος καὶ μόχθος, οὐχ εἰς κενὸν διέδραμε·
ὁ Σωτὴρ γὰρ τοῦ κόσμου καὶ ὁ μόνος εὔσπλαγχνος,
δέδωκε νῦν τὴν συγγνώμην ὑμῖν·
πλὴν καὶ ὑμεῖς, ἅπαντα τὸν βίον,
ἐν μετανοίᾳ διάγετε.

Θεοτοκίον

*Οἱ πιστοὶ πρὸς τὴν Θεοτόκον*

Συμφώνως ἐν ὕμνοις εὐχαριστοῦμέν σοι, Ἁγνή,
ὁ Υἱὸς καὶ Θεὸς γὰρ καὶ ἡμῶν ὁ Κύριος,
πάντας ἡμᾶς κατηξίωσε νῦν
τῆς Οὐρανῶν, θείας βασιλείας,
μετὰ Ἀντίπα τοῦ μάρτυρος.